# Ἱερὰ Ἀκολουθία – Παρακλητ. Κανὼν
# Ἱστορικὸν καί τινα Θαύματα

## τῆς

# ΠΑΝΑΓΙΑΣ ΤΗΣ ΠΟΡΤΑΙΤΙΣΣΗΣ

ΕΚΔΙΔΕΤΑΙ
ΥΠΟ
ΙΕΡΟΜΟΝΑΧΟΥ ΣΤΕΦΑΝΟΥ ΙΒΗΡΙΤΟΥ (ΚΛΗΜΗ)

ΑΓΙΟΝ ΟΡΟΣ
1960

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΙΣΤΟΡΙΚΟΝ ΚΑΙ ΤΙΝΑ ΘΑΥΜΑΤΑ

ΤΗΣ

ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ

ΤΗΣ

# «ΠΟΡΤΑΪΤΙΣΣΗΣ»

**Ἧς ἡ θαυματουργὸς Εἰκὼν εὕρηται**
**ἐν τῇ Ἱερᾷ Μονῇ τῶν Ἰβήρων.**

Η ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

ΠΟΙΗΜΑ

ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

ΝΥΝ ΤΟ ΔΕΥΤΕΡΟΝ ΕΚΔΙΔΕΤΑΙ ΕΙΣ ΕΚΤΥΠΩΣΙΝ ΚΑΛΛΙΤΕΧΝΙΚΗΝ
Τῌ ΑΔΕΙᾼ ΚΑΙ ΕΥΛΟΓΙᾼ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΩΝ ΙΒΗΡΩΝ
ΥΠΟ
ΙΕΡΟΜ. ΣΤΕΦΑΝΟΥ ΙΒΗΡΙΤΟΥ (ΚΛΗΜΗ)

ΕΝ ΑΓΙΩι ΟΡΕΙ ΑΘΩι
1960

# ΤΗ͂ι ΤΡΙΤΗ͂ι ΤΗ͂Σ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

**Ἐτησίαν ἑορτὴν ἄγομεν εἰς τιμὴν καὶ δόξαν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, τῆς ἐπονομαζομένης «Πορταϊτίσσης», καθ' ἣν παραδόξως ἐλήλυθεν ἡμῖν ἡ ἁγία καὶ θαυματουργὸς αὐτῆς Εἰκών.**

## ΕΝ ΤΩ͂ι ΜΙΚΡΩ͂ι ΕΣΠΕΡΙΝΩ͂ι

Μετὰ τὴν ἐνάτην, κατὰ τὸν τύπον τοῦ Πάσχα,
ψάλλομεν τὸ Χριστὸς ἀνέστη τρίς, καὶ εἶτα,
Ἀπὸ φυλακῆς πρωΐας... καὶ τὰ ἑξῆς
Προσόμοια τῆς Θεοτόκου·

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῇ λαμπροφόρῳ ἐγέρσει τοῦ Ζωοδότου Χριστοῦ, λαμπρῶς συνευφρανθέντες, μεγαλύνωμεν πάντες, τὴν Ἄχραντον Μητέρα τούτου πιστῶς, τὴν Ἁγνὴν Πορταΐτισσαν· ὅτι πηγὴν ἡμῖν χάριτος δαψιλοῦς, τὴν Εἰκόνα αὐτῆς δέδωκε.

Ἡ τῶν Ἰβήρων ἀγάλλου Μονὴ καὶ χόρευε, τῇ θαυμαστῇ ἐλεύσει, τῆς πανσέπτου Εἰκόνος, τῆς μόνης Παναχράντου Μητρὸς τοῦ Θεοῦ, τῆς ἐν σοὶ τὴν κατοίκησιν, ἐκλεξαμένης χρηστότητι μητρικῇ, καὶ πλουσίᾳ ἀγαθότητι.

Καὶ οἰκουρὸς καὶ προστάτις καὶ πυλωρὸς ἀσφαλής, τῆς τῶν Ἰβήρων ὤφθης, Μονῆς δι' εὐσπλαγχνίαν· ἀλλὰ καὶ τοὺς καλοῦντάς σε πανταχοῦ, διασώζεις προφθάνουσα· ὡς θαυμαστή σου ἡ χάρις ἡ σωστική, Θεοτόκε Πορταΐτισσα!

Θαλασσοπόρος ἐπέστη τῇ κυβερνήσει σου, ἐν Ὄρει τῷ τοῦ Ἄθω, ἡ ἁγία Εἰκών σου, καὶ πάντες ἐπληρώθησαν χαρμονῆς, ταῖς σεπταῖς ὑποσχέσεσιν, ἃς ἐπηγγείλω τοῖς δούλοις σου ἀψευδῶς, Πορταΐτισσα Παντάνασσα.

Δόξα. καὶ νῦν. Ἦχος α΄.

Τὴν πρὸς ἡμᾶς ἐπιδημίαν σου, τὴν παραδόξῳ τρόπῳ γενομένην, καὶ θαύμασι πιστωσαμένην, τὴν περὶ τὸν κλῆρόν σου κηδεμονίαν, φωναῖς ᾀσμάτων μεγαλύνωμεν, Πορταΐτισσα Κόρη· ἐν τῇ ἐλεύσει γὰρ τῆς θείας Εἰκόνος σου, σὲ τὴν Βασίλισσαν τοῦ οὐρανοῦ καὶ γῆς, ἐν ἀνεκλαλήτῳ ψυχῆς ἀγαλλιάσει, οἱ ταπεινοί σου δοῦλοι ἐδεξάμεθα· ἧκες γὰρ ἡμῖν Πανύμνητε, χάριν καὶ δύναμιν καινίζουσα, καὶ ἐλπίδων πλοῦτον πρυτανεύουσα, καὶ παντὸς ἀγαθοῦ ἐπαγγελίαν χορηγοῦσα· δι' ὧν σωθείημεν Δέσποινα, οἱ ἀκλινῶς πεποιθότες σοι.

Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας,
Κύριος εἰσακούσεταί μου... καὶ τὰ ἀπόστιχα.
Πρῶτον τὸ Ἀναστάσιμον, Ὁ τῷ πάθει σου Χριστέ...
καὶ εἶτα τὰ ἑξῆς τῆς Θεοτόκου.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Θαῦμα ξενοπρεπές! πῶς ἡ σεπτὴ εἰκών σου, διὰ θαλάσσης ἦλθεν, ἀκλύστως ἐν τῷ Ἄθῳ, Παρθένε Πορταΐτισσα.

**Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.**

Εἴκων σῇ προσταγῇ, ἀβρόχως ἐν θαλάσσῃ, ὁ Γαβριὴλ εἰσῆλθε, καὶ ἔλαβε Παρθένε, τὴν θαυμαστὴν Εἰκόνα σου.

**Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.**

Πύλας τοῦ οὐρανοῦ, ὑπάνοιξον Παρθένε, ἡμῖν τοῖς σοῖς ἱκέταις, ὡς πύλη σωτηρίας, ἡμῶν καὶ Πορταΐτισσα.

Δόξα. Τριαδικόν.

Μίαν σε ἐν τρισίν, οὐσίαν χαρακτῆρσιν, Ὑπέρθεε Θεότης, πιστῶς ὁμολογοῦντες, φωτί σου ἐλλαμφθείημεν.

Καὶ νῦν. Θεοτοκίον.

Πρώτη πάντων Ἁγνή, κατεῖδες ἀναστάντα, τὸν σὸν Υἱὸν ἐκ τάφου, καὶ ὕμνησας τὴν τούτου, τριήμερον ἀνάστασιν.

Καὶ ἀμέσως τὸ Χριστὸς ἀνέστη χῦμα ἐκ γ'
καὶ τὸ Ἀπολυτίκιον τῆς Παναγίας ἅπαξ,
ὅπερ ὅρα ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Τὸ Χριστὸς ἀνέστη μετὰ τῶν στίχων αὐτοῦ ὡς συνήθως ψάλλεται ἐν ταύτῃ τῇ ἑβδομάδι, καὶ ἀμέσως τὰ ἀνοιξαντάρια. Μεθ' ἃ συναπτὴ μεγάλη. καὶ τὸ Κύριε ἐκέκραξα. ἔνθα ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν Ἀναστάσιμα τοῦ γ΄ ἤχου δ΄ καὶ τῆς Θεοτόκου ς΄ τὰ ἑξῆς·

### Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος!

Ω τοῦ παραδόξου θαύματος! ἡ ἁγία Εἰκών, τῆς Ἁγνῆς Θεόπαιδος, ἐλήλυθε θαυμαστῶς, διὰ θαλάσσης ἡμῖν. Ἐξέλθετε Μονασταί, ὑποδοχὴν τῇ Παρθένῳ ποιούμενοι, Ἰβήρων δὲ ἡ Μονή, λαμπροφοροῦσα τὰς πύλας σου ἄνοιξον· ἡ γὰρ Θεοτόκος Κόρη, ἐν σοὶ ἐπεδήμησε, καὶ οἰκείᾳ βουλήσει, πυλωρός σοι ἀναδείκνυται.

Βαβαὶ τῶν σῶν μεγαλείων Ἁγνή, καὶ τῆς πρὸς ἡμᾶς σου, συμπαθείας Δέσποινα! μεγάλων γὰρ δωρεῶν, καὶ ἀντιλήψεων, ἠξίωσας ἀληθῶς, ἣν ἐξελέξω περίβλεπτον Μάνδραν σου· δωσῶραι γὰρ ἐκπληροῖς, τὰς πρὸς ἡμᾶς σωστικὰς ὑποσχέσεις σου. Ὅθεν χαῖρέ σοι βοῶμεν, Κόρη Πορταΐτισσα, καὶ κηρύττομεν πᾶσι, τῶν θαυμάτων σου τὸ μέγεθος.

Τὴν σὴν δοξάζομεν πρόνοιαν, δι' ἧς περιέπεις, πάντοτε τοὺς δούλους σου, ἑστῶτας πανευλαβῶς, πρὸ τῆς Εἰκόνος σου· τοῖς πᾶσι γὰρ ἐφαπλοῖς, τὰς διαδόσεις τῶν θείων χαρίτων σου, τοῖς πόρρω καὶ τοῖς ἐγγύς, καὶ διασώζεις τοὺς πίστει βοῶντάς σοι· Κεχαριτωμένη χαῖρε, Κόρη Πορταΐτισσα, ἡ τοῦ Ἄθω προστάτις, καὶ τοῦ κόσμου ἡ βοήθεια.

Προσόμοια ἕτερα.
Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς ἀκήκοεν Ἄχραντε, τῶν ἁγίων ῥημάτων σου, Γαβριὴλ ὁ Ὅσιος ἀγαλλόμενος, ἐν τῇ θαλάσσῃ ἐβάδισεν, ἀβρόχοις ἐν ἴχνεσι, καὶ ὁσίαις ἐν χερσί, τὴν ἁγίαν Εἰκόνα σου ἠγκαλίσατο, ὡς ἁγίασμα θεῖον τῆς σῆς δόξης, Πορταΐτισσα Παρθένε, ἁγιασμὸν κόσμῳ βλύζουσαν.

Τῆς πολλῆς σου χρηστότητος, τὰς ἐκφάνσεις καὶ χάριτας, ἐναργῶς θεώμενοι ἐξιστάμεθα· ἐν τῷ πυλῶνι γὰρ ἵστασθαι, ηὐδόκησας Ἄχραντε, τῆς Μονῆς σου τῆς σεπτῆς, τὴν ἁγίαν Εἰκόνα σου, εἴργειν πάντοτε, ἐξ αὐτῆς τῶν ἐχθρῶν τὰς ἐπιθέσεις· διὰ τοῦτο σὲ καλοῦμεν, θείαν ἡμῶν Πορταΐτισσαν.

Καὶ ἐν ταύτῃ τῇ Μάνδρᾳ σου, καὶ ἐν ὅλῳ τῷ Ὄρει σου, καὶ εἰς κόσμον ἅπαντα Πορταΐτισσα, νέμεις τὴν ἄφθονον χάριν σου, καὶ σώζεις προφθάνουσα, τοὺς φωνοῦντάς σε πιστῶς. Ἀλλὰ πλήρου δεόμεθα Παντευλόγητε, τὰς σεπτάς σου ἡμῖν

ἐπαγγελίας, καὶ ἐν βίῳ τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι Δέσποινα.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἐν τῇ λαμπροφόρῳ ἡμέρᾳ τῆς ἐγέρσεως τοῦ Χριστοῦ, ἡ Ἀειπάρθενος αὐτοῦ Μήτηρ, καινῶν θαυμασίων ὑπόθεσιν, καὶ ψυχοτρόφων ἀγαθῶν κοινωνίαν, ἡμῖν παρατίθησι, μητρικῇ εὐδοκίᾳ· δεῦτε οὖν τρυφήσωμεν τῷ πνεύματι, τὰ τῆς Παρθένου μεγαλεῖα δοξάζοντες, καὶ τὴν περὶ ἡμᾶς πολυμερῆ αὐτῆς κηδεμονίαν· ὡς γὰρ στήλην ἐμφανῆ, καὶ ἀσφαλὲς ἐχέγγυον, ὧν ἀπεφήνατο ἡμῖν ἐπαγγελιῶν, τὴν ἱερὰν αὐτῆς Εἰκόνα, ἀρρήτῳ προμηθείᾳ ἐδωρήσατο· ἐκ Νικαίας γὰρ αὐτήν, διὰ θαλάσσης πάλαι ὡδήγησε, καὶ οὐκ ἐγνώσθησαν τὰ ἴχνη αὐτῆς, ἐν ὕδασι πολλοῖς, κατὰ Δαβὶδ τὸν θεῖον. Ἔργον τοῦτο θαυμαστὸν καὶ παράδοξον, ὃ κατειργάσω Δέσποινα, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος γ΄.

Πῶς μὴ θαυμάσωμεν.....

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον, Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ... μετὰ τῶν στίχων αὐτοῦ, καὶ τὰ Ἀναγνώσματα τῆς 15ης Αὐγούστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α΄.

Εὐφραινέσθω ἐν Κυρίῳ, ἡ τῶν Ἰβήρων Μονή, καὶ σὺν αὐτῇ ἅπας ὁ Ἄθως σκιρτάτω, καὶ πᾶσα πόλις καὶ χώρα τῶν πιστῶν, πίστει λαμπροφορείτω. Ἰδοὺ γὰρ ἡ οὐράνιος πύλη, ἡ φερωνύμως Πορταΐτισσα Θεοτόκος, οὐ μόνον πᾶσαν δόσιν ἀγαθήν, καὶ πᾶν δώρημα τέλειον, ἑνὶ ἑκάστῳ χορηγεῖ πρὸς σωτηρίαν, ἀλλὰ καὶ τὰς οὐρανίους εἰσόδους, ὡς τοῦ Σωτῆρος φιλεύσπλαγχνος Μήτηρ, πᾶσιν ὑπανοίγει· ὅθεν δράμωμεν τῇ σκέπῃ αὐτῆς, ἵνα πλουσίας τρυφήσωμεν χάριτος, καὶ λάβωμεν ὧν ἕκαστος, ἀπὸ ψυχῆς δεόμεθα, σὺν τῷ Ἀγγέλῳ βοῶντες· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ παρέχων διὰ σοῦ ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος β΄.

Θαυμαστὴ ἡ πορεία Πανάχραντε, ἣν διὰ θαλάσσης ἤνυσεν ἐν ἀρρήτῳ δυνάμει, ἡ παναγία Εἰκών σου· Εἰκονομάχων γὰρ τὸν σάλον ἐκφεύγουσα, οἷα ναῦς μυριοφόρος, κυβερνωμένη τῇ σῇ χάριτι, ἐνελιμενίσθη τῷ κλήρῳ σου, φόρτον ἀγαθῶν ἐπαγγελμάτων, καὶ κρειττόνων ἐλπίδων πλήρωμα, καὶ ἁγιασμοῦ δωρεάς, μυστικῶς ἡμῖν κομίζουσα· ὧν τὰς ἀπαρχὰς δεχόμενοι, ἐν πληροφορίᾳ πολλῇ, μεγαλύνομεν τὸ ὄνομά σου, τὸ ὑπερύμνητον Δέσποινα· ὅτι σκέπεις καὶ σώζεις, ἡμᾶς ἀεὶ Πορταΐτισσα.

Ἦχος γ΄.

Υπὲρ αὐγὰς ἡλίου ἐκλάμπουσα, ἐν ὄψει θείᾳ ἐπέστης, τῷ σῷ θεράποντι Ὁσίῳ Γαβριήλ, καὶ τούτῳ ἀπεκάλυψας Ἄχραντε, τὴν περὶ ἡμᾶς σου πανάγαθον βουλήν· ὢ τῆς πλουσίας σου χρηστότητος, ὑπερύμνητε Δέσποινα! Πυλωρὸς γὰρ καὶ βοηθός, εὐηγγελίσω ἔσεσθαι, ἐν παντὶ ταύτης τῆς Ποίμνης σου· καὶ ἐναργὲς τούτων τεκμήριον, ἡ τῆς παντίμου Εἰκόνος σου, ἐν ταύτῃ κατάπαυσις. Ὁμολογοῦμεν τὴν χάριν, καὶ εὐσήμῳ στόματι κηρύττομεν, τὰς πολλὰς ἀντιλήψεις σου, δι᾽ ὧν σκέπεις καὶ σώζεις, ἡμᾶς ἀεὶ Πορταΐτισσα.

Ἦχος δ΄.

Εξέστησαν ἅπαντες, τὸν Ὅσιον ὁρῶντες Γαβριήλ, ἐπὶ κυμάτων βαδίζοντα, καὶ τὴν σὴν Εἰκόνα ταῖς χερσί, κρατοῦντα Πανάχραντε· ἡ γὰρ ἐξ αὐτῆς προϊοῦσα χάρις, ξένα καὶ παράδοξα, ἀληθῶς εἰργάσατο· καὶ οὐ μόνον τότε ἐδοξάσθη τοῖς θαύμασιν, ἀλλὰ καὶ νῦν παρέχει τὰς ἰάσεις, πανταχοῦ ἐφαπλοῦσα τὰς δωρεάς, καὶ προφθάνουσα σώζει, τοὺς φωνοῦντας αὐτὴν ἐκ πίστεως. Ἀλλ᾽ ὢ ὑπερύμνητε Πορταΐτισσα, ὁμάλισον ἡμῖν τὰς τρίβους τῆς ζωῆς, καὶ τῆς ἄνω βασιλείας τὰς εἰσόδους ἄνοιξον· εἰς σὲ γὰρ ἐλπίζομεν σωθῆναι, ὡς πάντα ἰσχύουσαν, παρὰ τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν.

Δόξα, καὶ νῦν. Ὁ αὐτός.

Τὸν ἀληθῆ ἱλασμὸν τεκοῦσα, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἀνακαλούμενον φθορᾶς, τὴν φύσιν τοῦ Ἀδάμ, ἱλαστήριον ἔδειξας νοητόν, τῆς σῆς ἀχράντου μορφῆς τὴν Εἰκόνα, Θεοτόκε Παρθένε· καὶ ταύτην μὲν πάλαι ἐν Νικαίᾳ, ἡ εὐσεβὴς γυνὴ πίστει καὶ πόθῳ τιμῶσα, θείας ἐπληροῦτο χάριτος· νῦν δὲ ἡμεῖς κατέχοντες αὐτήν, δέει πολλῷ προσερχόμεθα, καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος λαμβάνομεν, καὶ ἱλασμὸν πταισμάτων, καινοποιούμενοι τῷ πνεύματι· ἡ γὰρ ἐν αὐτῇ σκηνοῦσα χάρις σου, πάντα ἐνεργεῖ, τοῖς ἐν ἀληθείᾳ αὐτὴν λιτανεύουσι, καὶ τὰ σὰ δοξολογοῦσι θαυμάσια.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.
Πρῶτον τὸ Ἀναστάσιμον, Ὁ τῷ πάθει σου Χριστέ...
καὶ εἶτα τὰ ἑξῆς τῆς Θεοτόκου.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

**Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου...**

Ἧκε θαλασσοπόρος ποτέ, κυβερνωμένη ἀοράτῳ δυνάμει σου, Εἰκών σου ἡ παναγία, Θεογεννῆτορ Ἁγνή, ἀπὸ τῆς Νικαίας εὐδοκίᾳ σου, καὶ ταύτης ὡς γέγραπται, οὐκ ἐγνώσθη ἐν ὕδασι, τὰ ἴχνη Κόρη, ἐνεργείᾳ τῇ κρείττονι, καὶ κατέπλευσεν, ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, στύλῳ φωτὸς ἐκλάμπον-

τι, αὐτῆς τὴν παράδοξον, ἔλευσιν πᾶσι δηλοῦσα, τοῖς Μονασταῖς Πορταΐτισσα, πιστῶς σοι βοῶσι· χαῖρε πάντων προστασία, καὶ καταφύγιον.

**Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.**

Χαίρων ὁ ἱερὸς Γαβριήλ, καὶ καθυπείκων τῇ σεπτῇ ἐμφανείᾳ σου, κατῆλθεν ἀπὸ τοῦ ὄρους, καὶ ἐν θαλάσσῃ Ἁγνή, ἴχνεσιν ἀβρόχοις εἰσπεπόρευται, καὶ πίστει ἀνέλαβε, τὴν ἁγίαν Εἰκόνα σου. τῶν οἰκτιρμῶν σου, γλυκασμὸν ἀποστάζουσαν, καὶ βραβεύουσαν, ἀληθῆ ἀγαλλίασιν· ὅθεν αὐτὴν δεξάμενοι, ὡς θείαν σου ἔλευσιν, ἐν τῇ Μονῇ τῶν Ἰβήρων, πανευλαβῶς ἐναπέθεντο, ὑμνοῦντες αἰνοῦντες, Πορταΐτισσα Παρθένε, τὰ μεγαλεῖά σου.

**Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.**

Χαίρει ἡ τῶν Ἰβήρων Μονή, σεμνυνομένη τῇ ἀχράντῳ Εἰκόνι σου· αὐτῆς γὰρ δι' εὐσπλαγχνίαν, ὤφθης Ἁγνὴ οἰκουρός, πυλωρὸς καὶ δόξα Πορταΐτισσα· καὶ ἅπας ὁ Ἄθως δέ, ἐγκαυχᾶται τῇ σκέπῃ σου, καὶ σύμπας κόσμος, τῇ θερμῇ ἀντιλήψει σου, διασώζεται, καὶ Θεῷ καταλλάσσεται· ἅπασι γὰρ ὀξύτατα, παρέχεις τὴν χάριν σου, καὶ θλιβομένους ἐξαίρεις, τῶν χαλεπῶν περιστάσεων, ὑμνοῦντας αἰνοῦντας, καὶ κηρύττοντας Παρθένε, τὴν σὴν βοήθειαν.

Δόξα. Ἦχος πλ. δ΄.

Τίς ἐπαξίως ὑμνήσει, τῆς πρός ἡμᾶς εὐνοίας σου, τὸν ἀνεξάντλητον θησαυρόν, Θεοτόκε Πορταΐτισσα; Πολυειδῶς καὶ πολυτρόπως γάρ, εὐεργετοῦσα ἡμᾶς, ἐν εὐκαιρίαις καὶ θλίψεσι, βραβεύεις κατ' ἀξίαν ἡμῖν τὰ αἰτήματα· οὐ μόνον γὰρ κυβερνῆτις σωτήριος, καὶ ἔφορος ἐν βίῳ ἡμῖν ὤφθης, ἀλλὰ καὶ πυλωρὸς ἐδείχθης ἀσφαλής, ἀπείργουσα καθ' ἡμῶν, πᾶσαν τῶν ἀντικειμένων βλάβην. Διὸ Πανάχραντε Δέσποινα, καὶ τὰς οὐρανίους πύλας ἄνοιξον ἡμῖν, καὶ σεσωσμένους Χριστῷ προσάγαγε, τοὺς εἰς σὲ ἐλπίζοντας.

Καὶ νῦν. Ἦχος πλ. α΄.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει...

Ἐν τέλει ψάλλομεν τὸ Χριστὸς ἀνέστη τρὶς (τετράκις μετὰ τὸ τοῦ ἰδιομέλου), καὶ ἀμέσως τὸ Ἀπολυτίκιον τῆς Θεοτόκου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὴν σεπτήν σου Εἰκόνα Πορταΐτισσα Δέσποινα, ἣ διὰ θαλάσσης ἐπέστη, θαυμαστῶς ἐν τῇ Ποίμνῃ σου, τιμῶμεν ὡς ἁγίασμα σεπτόν, καὶ σκήνωμα τῆς δόξης σου πιστῶς· ἐξ αὐτῆς γὰρ ἀνα-

βλύζεις τὰς δωρεάς, τοῖς πόθῳ ἐκβοῶσί σοι· δόξα τοῖς θαυμασίοις σου Ἁγνή, δόξα τῇ προμηθείᾳ σου, δόξα τῇ πρὸς ἡμᾶς σου πλουσίᾳ χρηστότητι.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς δώρημα τέλειον, τῶν οἰκτιρμῶν σου Ἁγνή, πιστῶς ἐδεξάμεθα, τὴν παραδόξως ἡμῖν, ἐλθοῦσαν Εἰκόνα σου· ὅθεν καὶ πυλωρόν σε, κεκτημένοι Παρθένε, πόθῳ σοι ἐκβοῶμεν, Πορταΐτισσα Κόρη· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Καὶ ἐν τῇ ἀγρυπνίᾳ τὸ Θεοτόκε Παρθένε ὡς συνήθως, καὶ ἡ εὐλόγησις τῶν ἄρτων. Εἶτα ἀντὶ τοῦ Εὐλογήσω τὸν Κύριον, τὸ Χριστὸς ἀνέστη, χῦμα τρίς, καὶ εὐθύς, Πλούσιοι ἐπτώχευσαν, καὶ ἡ ἀνάγνωσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Περατωθείσης τῆς ἀναγνώσεως, ὁ ἱερεὺς ἱστάμενος πρὸ τῆς Ἁγίας Τραπέζης, φορῶν Φελώνιον καὶ Ἐπιτραχήλιον καὶ κρατῶν κηρὸν ἀνημμένον μετὰ Σταυροῦ καὶ τοῦ Θυμιατοῦ, ἐκφωνεῖ, Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ...καὶ ψάλλεται τὸ Χριστὸς ἀνέστη μετὰ τῶν στίχων κατὰ τὸν συνήθη τύπον, μεθ' ὃ τίθεται πάλιν ἀνάγνωσις, καὶ μετὰ ταύτην ψάλλομεν τὸν Πολυέλεον καὶ τὴν Ἐκλογὴν τῆς Θεοτόκου.

### Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Κατῆρε θαυμαστῶς, ἡ ἁγία Εἰκών σου, καὶ ἔφθασεν ἡμῖν, ἐκ Νικαίας Παρθένε, κομίζουσα τὰς χάριτας, τῆς σεπτῆς εὐλογίας σου· ἧς τὴν ἔλευσιν, πανηγυρίζομεν πόθῳ, Πορταΐτισσα, ἐν τῇ παρούσῃ ἡμέρᾳ, Χριστοῦ τῆς ἐγέρσεως.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ως πάλαι γυναικί, τῇ πιστῇ ἐν Νικαίᾳ, ἐδίδως δαψιλῶς, τὴν σὴν χάριν Παρθένε, οὕτω καὶ νῦν Πανύμνητε, ἡμῖν δίδου δεόμεθα, ὑποσχέσεων, τῶν πρὸς ἡμᾶς σου τὸ πέρας, τοῖς τὴν θείαν σου, δορυφοροῦσιν Εἰκόνα, Ἁγνὴ Πορταΐτισσα.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.
Μνησθήσομαι τοῦ ὀνόματός σου
ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.**

ΕΥΑΓΓΕΛΙΟΝ κατὰ Λουκᾶν.
Ἐν ταῖς ἡμέραις ἐκείναις...
Ἀντὶ τοῦ Ν΄ ψαλμοῦ λέγομεν μόνον
τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι... καὶ εὐθὺς
Δόξα. Ταῖς τῆς Θεοτόκου...
Καὶ νῦν. Ταῖς τῆς Παναχράντου...
Ἰδιόμελον. Ἦχος πλ. β΄.

**Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.**

Τῆς μητρικῆς προνοίας τὸ μέγεθος, ἐναργέστερον ἡμῖν δεικνύουσα, διὰ τῆς σῆς Εἰκόνος, τῇ σῇ Ποίμνῃ ἐπεδήμησας, καὶ χαρᾶς πολλῆς ἡμᾶς ἔπλησας, καὶ ἐπὶ πλεῖον ἐκαρδίωσας, πρὸς θεῖον πόθον Πανάχραντε· τῆς γὰρ αἰωνίου σωτηρίας τὴν ἀσφάλειαν, ὤφθης ἡμῖν ἐγγυωμένη, ὃ καὶ ὁρῶμεν πληρούμενον, διὰ σοῦ σωζόμενοι Θεοτόκε. Ἀλλ᾽ ὦ

Κυρία Πορταΐτισσα, μέχρι τέλους φύλαττε ἡμᾶς, καὶ σῶζε ὡς ἐπηγγείλω, τῇ κραταιᾷ προστασίᾳ σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες, τοῦ Πάσχα μετὰ τῶν Εἱρμῶν εἰς ϛ´ καὶ τῆς Πορταϊτίσσης οἱ δύο εἰς η´.

Κανὼν πρῶτος τῆς Θεοτόκου.

Φέρει ἀκροστιχίδα ἐν τοῖς τελευταίοις τροπαρίοις «Γερασίμου».

Ὠδὴ α´. Ἦχος α´. Ἀναστάσεως ἡμέρα.

Ἀναστάσεως ἡμέραν, τοῦ Σωτῆρος Χριστοῦ, ἄγοντες χαρμοσύνως, συνεορτάσωμεν φαιδρῶς, οἱ ἐν Ἄθῳ Μονασταί, ἡμῖν τὴν λαμπράν, Εἰκόνος τὴν ἔλευσιν τῆς Ἁγνῆς Θεομήτορος.

Καθαροὶ τῇ διανοίᾳ προσπελάσωμεν, πίστει καὶ εὐλαβείᾳ, Εἰκόνι τῇ θαυματουργῷ, Πορταϊτίσσης τῆς Ἁγνῆς, καὶ χάριν πολλήν, καὶ ἔλεος ἄφθονον, ἐξ αὐτῆς ἀρυσώμεθα.

Οὐρανοί σε ἐξαστράπτουσαν κατέχοντες, χαίρουσι Θεοτόκε· ἡ τῶν Ἰβήρων δὲ Μονή, Εἰκόνα σου τὴν θαυμαστήν, πλουτοῦσα σεμνῶς, σῇ δόξῃ λαμπρύνεται, Πορταΐτισσα Δέσποινα.

Γνώμην ἔχουσα ὁσίαν ἡ θεόφρων γυνή, πάλαι ἐν τῇ Νικαίᾳ, Εἰκόνα σου τὴν ἱεράν, δάκρυσιν ἔθετο θερμοῖς, ἐν νώτοις ἁλός, ἐκεῖθεν δὲ ἄκλυστος, πρὸς ἡμᾶς παραγέγονε.

Κανὼν δεύτερος οὗ ἡ ἀκροστιχίς·

«Τῇ Πορταϊτίσσῃ αἶνον πλέκω. Γερασίμου».

Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Τὴν ἔλευσιν Ἄχραντε, τῆς παναγίας Εἰκόνος σου, ὑμνῆσαι τετόλμηκα, ἀνάγνοις χείλεσιν, ἀλλὰ σύγγνωθι, τῇ τόλμῃ μου Παρθένε, καὶ δίδου μοι δύναμιν, τῷ λόγῳ δέομαι.

Ἡνίκα ἐνέμετο, Εἰκονομάχων ἡ αἵρεσις, ὡς λύμη ψυχόλεθρος, τὴν Ἐκκλησίαν Χριστοῦ, τότε Ἄχραντε, ἡ πάνσεπτος Εἰκών σου, οἷς τρόποις ηὐδόκησας, ἡμῖν διέσωσται.

Πορεύου ὦ Δέσποινα, ὅπου ἡ χάρις σου βούλοιτο, ἡμᾶς δὲ διάσωζε, τῇ σῇ χρηστότητι, τὴν Εἰκόνα σου, εἰς θάλασσαν βαλοῦσα, ἡ σώφρων ἐβόα σοι, χήρα Πανάχραντε.

Ὁδὸν διανύσασα, ἐπὶ θαλάσσης παράδοξον, καὶ ἄγνωστος μείνασα, πλείστοις ἐν ἔτεσιν, ἡ ἁγία σου, Εἰκὼν Θεογεννῆτορ, ἐν Ἄθῳ κατέπλευσεν, ὡς ναῦς μυριόλβος.

Καταβασίας ψάλλομεν διπλᾶς, τοῦ Πάσχα, Ἀναστάσεως ἡμέρα, καὶ τῆς Θεοτόκου, Ἀνοίξω τὸ στόμα μου. Εἶτα τὸ Χριστὸς ἀνέστη τρίς, Ἀναστὰς ὁ Ἰησοῦς καὶ αἴτησις, κατὰ τὸν συνήθη τύπον τῆς ἑβδομάδος ταύτης.

Οὕτω ποιοῦμεν ἐν ἑκάστῃ ᾠδῇ.

Ὠδὴ γ'. Δεῦτε πόμα πίωμεν.

Δεῦτε χαρισμάτων γλυκασμόν, ὃν ἡμῖν ἡ Παρθένος ἡ Πορταΐτισσα, οἷα νεφέλη ζωῆς, σταλάζει κατὰ τὸν Ἰωήλ, δεξώμεθα χαίροντες.

Νῦν ἅπαν τὸ Ὄρος σου Ἁγνή, ἐξαιρέτως ἡ Μάνδρα ἡ τῶν Ἰβήρων δέ, πανηγυρίζει λαμπρῶς, τὴν ἔλευσιν τὴν ξενοπρεπῆ, τὴν σὴν Πορταΐτισσα.

Χθὲς ἐπὶ κυμάτων τῆς ἁλός, φερομένη δεδόξασται Πορταΐτισσα, ἡ σὴ ἁγία Εἰκών, καὶ σήμερον δὲ ἐν τῷ ναῷ, τῷ σῷ τεθαυμάστωται.

Ἔστη ἐν τῇ πόρτῃ τῆς Μονῆς, ἐκδηλοῦσα τὸν τρόπον τῆς προστασίας σου, ἡ θαυμαστή σου Εἰκών· ἐντεῦθεν ἐκλήθης συμπαθῶς, Ἁγνὴ Πορταΐτισσα.

Δεύτερος. Τοὺς σοὺς ὑμνολόγους.

Ῥημάτων τῶν θείων σου ἀκούσας, ὁ Ὅσιος Κόρη Γαβριήλ, ἐπὶ ἁλὸς ἐπέζευσε, καὶ τὴν σεπτὴν Εἰκόνα σου, ἀγκάλαις ὑπεδέξατο, φωτὶ ἀΰλῳ ἐκλάμπουσαν.

Τρισσάκις δυνάμει ἀοράτῳ, πυλῶνι εὑρέθη τῆς Μονῆς, Εἰκών σου ἡ ὑπέρλαμπρος, ἐκ τοῦ ναοῦ σου φεύγουσα· φυλάττειν γὰρ ἠθέλησας, ἡμᾶς Ἁγνὴ Πορταΐτισσα.

Αγγέλων ἐξέστησαν αἱ τάξεις, ὁρῶντες ὀρθίαν θαυμαστῶς, ἐν τῇ θαλάσσῃ πλέουσαν, τὴν ἱερὰν Εἰκόνα σου, καὶ Μονασταὶ ἐθαύμασαν, ταύτης Παρθένε τὴν ἄφιξιν.

Ἰάσεων δρόσον ἀποστάζεις, καὶ παύεις τὴν φλόγα τῶν παθῶν, τῶν ἐπικαλουμένων σε, Παρθένε Πορταΐτισσα, χάριν πολλὴν παρέχουσα, καὶ οὐρανίαν παράκλησιν.

Καταβασίαι.

Δεῦτε πόμα πίωμεν καινόν...

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε...

**Μετὰ τὴν αἴτησιν ἀναγινώσκομεν τὸ Κοντάκιον καὶ τὸν Οἶκον τοῦ Πάσχα, καὶ εἶτα ψάλλομεν τὸ ἑξῆς τῆς Θεοτόκου Κάθισμα.**

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς θαυμαστῆς σου καὶ ἁγίας Εἰκόνος, πανηγυρίζοντες τὴν ἔλευσιν Κόρη, δοξολογοῦμεν τὰ πολλά σου θαύματα· ἐν αὐτῇ γὰρ χαίροντες, ἐδεξάμεθα πίστει, σὲ τὴν πάντων Ἄνασσαν, καὶ προστάτιδα ὅλων, βασιλικὰς διδοῦσαν δωρεάς, χειρὶ πλουσίᾳ, ἡμῖν Πορταΐτισσα.

Δόξα καὶ νῦν. Ὅμοιον.

Τὰ τῶν βαρβάρων πολυάριθμα πλήθη, κατὰ τῆς Ποίμνης σου Ἁγνὴ ἐπελθόντα, ἀφανισμὸν ἐμπνέοντα καὶ ὄλεθρον, κραταιῶς συνέτριψας, καταιγίδι θαλάσσης, καὶ χαρᾶς ἐπλήρωσας, Μοναστῶν τὰς καρδίας, τῶν καθορώντων Κόρη ἀληθῶς, πεπληρωμένα, τὰ σὰ ἐπαγγέλματα.

Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἐπὶ τῆς θείας φυλακῆς, φυλάττειν σε καὶ θυρωρεῖν, οἷά περ πυρίνην ῥομφαίαν, τὴν Μονήν σου βλέποντες, Παρθένε ἐξιστάμεθα, καὶ πῶς οὐκ εὐποροῦμεν ὑμνῆσαι, τὴν πρὸς ἡμᾶς σου ἀγάπην Πορταΐτισσα.

Ἄρσεν μὲν δι' εὐσπλαγχνίαν, καὶ ἱλασμὸς ὤφθη Χριστός, σὺ δὲ ὡς πανάφθορος Μήτηρ, τούτου Πανακήρατε, καὶ μήτηρ ἡμῶν πέφηνας, ἐκτρέφουσα καὶ θάλπουσα ὄντως, τρόποις ποικίλοις ἡμᾶς, ὦ Πορταΐτισσα.

Ὡς ἐνιαύσιον λαμπράν, καὶ φωτοφόρον τελετήν, ἐν τῇ λαμπροφόρῳ ἡμέρᾳ, τῆς Χριστοῦ ἐγέρσεως, ἡ ἔλευσις ἐκρότησεν, ἡμῖν τῆς θαυμαστῆς σου Εἰκόνος. ἐν ᾗ φαιδρῶς Πορταΐτισσα ὑμνοῦμέν σε.

Ὁ Προφητάναξ μὲν Δαβίδ, πρὸ τῆς τοῦ νόμου κιβωτοῦ, ἔνθους ἑωρᾶτο· ἡμεῖς δέ, εὐλαβῶς ἱστάμενοι, πρὸ τῆς σεπτῆς Εἰκόνος σου, χαρὰν ἀγι-

ασμὸν εὐφροσύνην, καὶ πᾶν καλὸν Πορταΐτισσα λαμβάνομεν.

Ρημάτων Κόρη ταπεινῶν, ὡς ἤκουσαν οἱ Μοναχοί, τοῦ μετανοοῦντος σατράπου, τῶν Περσῶν ἐθαύμασαν, τὸ ἔργον τῆς προνοίας σου· ἱκέτης ταπεινὸς γὰρ προσῆλθεν, ὁ πρὶν φυσῶν ἐν δυνάμει ματαιότητος.

Δεύτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Τῷ ὁσίῳ προεστῶτι, ἀποροῦντι δι' ἔνδειαν, ὄναρ ἐπιστᾶσα, τούτου θεραπεύεις τὸ ἄπορον· τοῦ γὰρ ἀλεύρου καὶ οἴνου καὶ ἐλαίου δέ, Πορταΐτισσα, τὰς ἀποθήκας ἐπλήρωσας.

Ἰατρεύεις Θεοτόκε, θαυμαστῶς Πορταΐτισσα, οὐ μόνον τοὺς πίστει, τῇ σεπτῇ Εἰκόνι σου σπεύδοντας, ἀλλὰ καὶ πάντας τοὺς πόῤῥω κινδυνεύοντας, τοὺς τὸ ὄνομα, τὸ σὸν φωνοῦντας τὸ ἅγιον.

Στόματί σου γλυκυτάτῳ, Πορταΐτισσα Δέσποινα, τῷ θεράποντί σου θείῳ Γαβριὴλ εὐηγγέλισαι, τὰ ἀληθῆ ἀγαθὰ ὑπὲρ τῆς Ποίμνης σου· ὢ τῆς χάριτος, ἧς ἡμᾶς Κόρη ἠξίωσας!

Σκέπε Κόρη οἷα μήτηρ, σκέπε οἷα φιλόστοργος, ἡμᾶς τὰ σὰ τέκνα, οἷά περ νοσσία προστρέχοντας, ὑπὸ τὰς πτέρυγας πάντοτε τῆς σκέπης σου, τῶν τοῦ ὄφεως, μανιωδῶν ἐπιθέσεων.

Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου.

Ορθρίζων Ἡλίῳ τῆς δόξης, ὁ Γαβριὴλ ὁ θεόφρων, ἐκλάμπουσαν ὑπὲρ λόγον, ἔβλεψέ σε Ἄχραντε, καὶ παρὰ σοῦ μεμύηται, τὴν περὶ ἡμᾶς εὐδοκίαν σου.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, πῶς εἴπωμεν Θεοτόκε; τῇ πύλῃ γὰρ ᾑρετίσω, μένειν συμπαθέστατα, τῆς Μονῆς σου Δέσποινα, ὥσπερ πυλωρὸς ταύτης ἄμαχος.

Προσέλθωμεν λευχειμονοῦντες, δικαιοσύνης τοῖς ἔργοις, τῇ μόνῃ Πορταϊτίσσῃ, καὶ αὐτῆς ὀψόμεθα, Εἰκόνα τὴν ὑπέρλαμπρον, χάριν πολλὴν ἀναβλύζουσαν.

Αγάπην πρὸς θείαν ἐνάγει, καὶ πρὸς σωτήριον φόβον, ἡ θέα ἡ τῆς μορφῆς σου, ἡ ἐν τῇ Εἰκόνι σου, Παρθένε Πορταΐτισσα, τοὺς πρὸς αὐτὴν καταφεύγοντας.

Δεύτερος. Ἐξέστη τὰ σύμπαντα.

Ηγίασας Δέσποινα, ἁγιασμῷ τῆς δόξης σου, καὶ ἐπισκιάσει σου ἀΰλῳ, τὴν παναγίαν ὄντως Εἰκόνα σου, καὶ εἰς πάντα κόσμον θαυμαστήν, ταύτην ἐναπέδειξας, ἐν σημείοις καὶ θαύμασι.

Απείργεις εἰσέρχεσθαι, ἐν τῇ Μονῇ σου Ἄχραντε, τοὺς μεμολυσμένους τῇ καρδίᾳ, τοὺς κα-

θαρούς δὲ ἔνδον εἰσάγεις Ἁγνή· τοῦτο δὲ ἐργάζῃ τὴν αὐτῶν, σωτηρίαν θέλουσα, οἷα μήτηρ φιλόστοργος.

Ἰδὼν τὴν Εἰκόνα σου, μαχαίρᾳ πάλαι ἔπληξεν, ἐν τῇ σιαγόνι ἐνεργείᾳ, τοῦ μισοκάλου ὁ μεταγνοὺς πειρατής, καὶ ἐκ ταύτης αἷμα Κόρη ζῶν, ἔῤῥευσεν ὢ θαύματος! ἄχρι δεῦρο ὁρώμενον.

Ναόν σοι ἀνήγειραν, Ἁγνὴ παρὰ τὴν θάλασσαν, ἔνθα πρῶτον ἔστη ἡ Εἰκών σου, ἡ φερομένη τοῦ Γαβριὴλ ταῖς χερσίν, ἔνθα παραδόξως καὶ πηγή, ὕδατος ἀνέβλυσεν, ὡς ἁγίασμα ἅγιον.

Καταβασίαι.

Ὀρθρίσωμεν ὄρθρου βαθέως...

Ἐξέστη τὰ σύμπαντα...

ᾨδὴ ς΄. Κατῆλθες, ἐν τοῖς κατωτάτοις.

Κατῆλθεν, ἀπὸ τῆς Ἑῴας ἡμῖν, ἡ ἁγία σου Εἰκὼν παραδόξως, Παρθένε, ὡς γλυκυτάτη ἠώς, διαυγάζουσα, ἐν τῷ κλήρῳ σου Ἁγνή, δωρεῶν θείων αἴγλην.

Φυλάττεις, ἐκ τῆς τῶν Περσῶν χαλεπῆς, ἐπιθέσεως Μονὴν τῶν Ἰβήρων, καὶ τούτους ἀφανισμῷ παντελεῖ, Πορταΐτισσα, παραδίδως ἀληθῶς, ἐν θυμῷ τῆς θαλάσσης.

Σῶτέρ μου, ταῖς τῆς Παναχράντου Μητρός, τῆς Ἁγνῆς Πορταϊτίσσης πρεσβείαις, παράσχου.

ὡς ἐλεήμων Θεός, τὰ ἐλέη σου, τοῖς γεραίρουσιν αὐτῆς, τὰ πολλὰ μεγαλεῖα.

Σὺ σκέπη, σὺ καὶ προστασία θερμή, σὺ πνοὴ σὺ καὶ παράκλησις θεία, ὑπάρχεις, τῶν σῶν τεκνίων Ἁγνή, Πορταΐτισσα, καὶ καθ' ὥραν τὸ γλυκύ, ὄνομά σου φωνοῦμεν.

Δεύτερος. Τὴν θείαν ταύτην.

Ὅλη λαμπρὰ Πορταΐτισσα, τῇ κόρῃ τῇ πασχούσῃ τεθέασαι, τοῦ Ρώσσων ἄνακτος, ἣν θαυμαστῶς θεραπεύσασα, τῇ σῇ Μονῇ παρέχεις, ὧν πρῴην ἔχρῃζε.

Νόσου βαρείας ἀπήλλαξας, τὸ πάσχον ἀνιάτως θυγάτριον, ἐν Λέσβῳ Ἄχραντε, τοῦ ἱερέως σῇ χάριτι· ὅθεν λαμπρῶς κηρύττει, τὸ θαυματούργημα.

Πολλῆς χαρᾶς Κόρη ἔπλησας, μητέρα ἐν Ἀθήναις φιλόθεον, ὡς ἐθεράπευσας, υἱὸν τὸν ταύτης τὸν πάσχοντα, θερμῶς σου δεηθεῖσαν, ὦ Πορταΐτισσα.

Λαμπρὸν ἐχέγγυον δέδωκας, ἡμῖν τῆς κραταιᾶς προστασίας σου, ὦ Πορταΐτισσα, τὴν παναγίαν Εἰκόνα σου, πρὸς ἣν ἀεὶ ὁρῶντες, ἰσχὺν λαμβάνομεν.

Καταβασίαι.

Κατῆλθες ἐν τοῖς κατωτάτοις...

Τὴν θείαν ταύτην καὶ πάντιμον...

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς πυλωρὸς καὶ ἀρωγὸς ἡμῶν καὶ ἔφορος
Μὴ ἀντανέλῃς ἀφ' ἡμῶν τὴν σὴν βοήθειαν
Πορταΐτισσα Παρθένε ἐκδυσωποῦμεν.
Ἀλλὰ πλήρου τὰς σεπτὰς ἐπαγγελίας σου
Ἃς ἡμῖν εὐηγγελίσω ὡς φιλάγαθος
Ἵνα κράζωμεν, χαῖρε πάντων ἀντίληψις.

Ὁ Οἶκος.

Ἄγγελοι ἀοράτως, τὴν σεπτήν σου Εἰκόνα, ἀεὶ ἐν εὐλαβείᾳ κυκλοῦσιν· ἡμεῖς δὲ ὁρατῶς πρὸς αὐτήν, μετὰ δέους προσερχόμενοι Πορταΐτισσα, ὑμνοῦμέν σου τὰ θαύματα, καὶ πόθῳ σοι βοῶμεν ταῦτα·

χαῖρε δι' ἧς Μονασταὶ σκιρτῶσι
χαῖρε δι' ἧς δυσμενεῖς σιγῶσι
χαῖρε παραδόξως ἡμῖν ἡ εἰσπλεύσασα
χαῖρε πᾶσαν δόσιν πιστοῖς ἡ παρέχουσα
χαῖρε Κόρη Πορταΐτισσα τῶν Ἰβήρων τῆς Μονῆς
χαῖρε πρύτανις καὶ ἔφορος Ἄθωνος ἡ εὐκλεὴς
χαῖρε ὅτι ἐκτρέπεις καθ' ἡμῶν πᾶσαν βλάβην
χαῖρε ὅτι βραβεύεις τοῖς πιστοῖς πᾶσαν χάριν
χαῖρε πηγὴ θαυμάτων ἀείρυτος
χαῖρε ἐλπὶς ἡμῶν ἀνενδοίαστος
χαῖρε ἡμῶν πυλωρὸς σωτηρίας

χαῖρε πυρσὸς ἀρραγοῦς προσδοκίας
χαῖρε πάντων ἀντίληψις.

Συναξάριον.

Πρῶτον τὸ τοῦ Μηναίου καὶ εἶτα τὰ ἑξῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τρίτη τῆς Διακαινησίμου ἑορτάζομεν τὴν πρὸς ἡμᾶς, τὴν ἐν Ἄθῳ περιφανῆ τῶν Ἰβήρων Μονήν, διὰ θαλάσσης παράδοξον ἔλευσιν τῆς θαυματουργοῦ καὶ ἁγίας Εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου, τῆς Κυρίας ἡμῶν Πορταϊτίσσης, γενομένην κατ' αὐτὴν τὴν ἡμέραν, ἐν ἔτει 1004.

Στίχ. Ξένως ἡμῖν ἧκες ἐν τῇ σῇ Εἰκόνι
Καὶ τῆς Ποίμνης σου πυλωρὸς ὤφθης Κόρη.
Θεοτόκου Πορταϊτίσσης τέρατ' ἀείδω λιγυρῶς.

Ταῖς τῆς Παναχράντου σου Μητρὸς πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι... ἐκ γ'.

Ἀναστὰς ὁ Ἰησοῦς... ἐκ γ', καὶ αἱ λοιπαὶ ᾠδαί.

Ὠδὴ ζ'. Ὁ παῖδας ἐκ καμίνου.

Ο παῖδας ἐκ καμίνου ρυσάμενος, ἐκ σοῦ σεσωμάτωται, Κόρη ὑπὲρ νοῦν, καὶ πύλην σε τῶν οὐρανῶν, μυστικῶς τοῖς ἐν γῇ ἀναδείκνυσιν, εἰσά-

γουσαν ἡμᾶς πρὸς τὰ ἄνω, Παρθένε Πορταΐτισσα.

Γυναῖκες ἀντὶ μύρων θεόφρονες, Ἁγνὴ Πορταΐτισσα, πίστει ἀκλινεῖ, ὕμνον σοι φέρουσι καινόν, τὴν θερμήν σου αἰτοῦσαι βοήθειαν, ἣν δίδου συμπαθῶς Θεοτόκε, ὡς εὐσπλαγχνίας πέλαγος.

Θανάτου ἐκ βεβαίου ἐξήρπασας, πολλάκις προφθάσασα, τοὺς ἀπὸ ψυχῆς, τὸ ὄνομά σου τὸ γλυκύ, ἐν κινδύνοις τελοῦντας φωνήσαντας· ἀλλὰ καὶ ἀναγκῶν ἐσομένων, ἡμᾶς ῥῦσαι Πορταΐτισσα.

Ὡς ὄντως θαυμαστὴ καὶ παράδοξος, τοὺς πάντας ἐκπλήξασα, γέγονεν Ἁγνή, ἡ ἔλευσίς σου πρός ἡμᾶς, ἐκκαλύπτουσα χάριν ἐξαίρετον. Αὐτὴν οὖν χαρμοσύνως τελοῦμεν, Παρθένε Πορταΐτισσα.

Ἰδοὺ ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν. ἰδοὺ ἡ παράκλησις, πάντων ἡ χαρά, ἡ Πορταΐτισσα Ἁγνή, ἐν ἑκάστῳ τὰ πρόσφορα νέμουσα· προσέλθωμεν μετὰ παρρησίας, αὐτῇ καὶ σωθησόμεθα.

Δεύτερος. Οὐκ ἐλάτρευσαν.

Ἐπεφώνησας ἐν ἐπαλλήλῳ φθέγματι, ἐκ τῆς Εἰκόνος σου, τὸν νεωκόρον Ἁγνή, τριττῷ δὲ ῥαπίσματι, τοῦτον ἐπαίδευσας, καὶ μὴ θέλοντα, ὃς ἰαθεὶς τοῦ πτώματος, εὐλαβῶς σοι διηκόνει.

Κόσμος ἅπας σου, κηρύττει Πορταΐτισσα, τὰ πολλὰ θαύματα, ἃ συμπαθῶς ἐνεργεῖς· εἰς πᾶσαν ἐξῆλθε γάρ, τὴν γῆν ἡ χάρις σου, καὶ τὸ ὄνο-

μα, τὸ σὸν ἡδὺ μελέτημα, πάσης γλώσσης πιστῶν ὤφθη.

Ὡς κατεῖδέ σε, ὁ διωχθεὶς παῖς ἄπορος, ἀγκάλαις φέρουσαν, οἷά περ βρέφος Χριστόν, ἐκ σοῦ νομίσματα, τρία δεξάμενος, θάμβους ἔπλησε, τοὺς μοναχοὺς θαυμάζοντας, συμπαθείας σου τὸν πλοῦτον.

Γνῶσιν ἔκδηλον, καὶ οἱονεὶ ἀσφάλειαν, δοῦναι τῷ κλήρῳ σου, τῆς πρὸς ἡμᾶς σου πολλῆς, χρηστότητος Ἄχραντε, καὶ ἀγαθότητος, ξένῳ θαύματι, ἦλθε ποντοπορήσασα, ἡ σεπτὴ ἡμῖν Εἰκών σου.

Καταβασίαι.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος...
Οὐκ ἐλάτρευσαν...

Ὠδὴ η΄. Αὕτη ἡ κλητή.

Αὕτη ἡ σεπτή, καὶ ἁγία ἡμέρα, ἐν ᾗ ἡμῖν ἀφῖκται, ἡ παναγία Εἰκών σου, ἑορτὴ ἀληθής, τῇ τοῦ Πάσχα φωταυγείᾳ γεγένηται· ἦλθες γὰρ Παρθένε, χαρὰν ἡμῖν διδοῦσα.

Δεῦτε τῆς διπλῆς, ἐντρυφήσωμεν χάριτος· ἰδοὺ γὰρ ἐξανέστη, Χριστὸς καινίσας τὸν κόσμον, καὶ ἡ Μήτηρ αὐτοῦ, ἀγαθὰ εὐαγγελίζεται κρείττονα, ἡμῖν τῇ ἐλεύσει, θείας αὐτῆς Εἰκόνος.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε, τοὺς πίστει παρεστῶτας, τῇ θαυμαστῇ σου Εἰκόνι,

καὶ παράσχου αὐτοῖς, τὰς αἰτήσεις συμπαθῶς Πορταΐτισσα· μὴ οὖν ἡμᾶς στερήσῃς, τῆς Χάριτός σου Κόρη.

Μεῖνον μεθ' ἡμῶν ἕως τέλους αἰῶνος· ὁρῶντες γὰρ Παρθένε, τὴν σὴν Ἁγίαν Εἰκόνα, ἐν τῷ μέσῳ ἡμῶν, ἀκλινεῖς ἐν πάσῃ θλίψει τηρούμεθα· ἐγγύησις γὰρ αὕτη, τῆς πρὸς ἡμᾶς μονῆς σου.

Δεύτερος. Παῖδας εὐαγεῖς.

Εἶδόν σε κρατοῦσαν ἐν ἀγκάλαις, Παρθένε Χριστὸν τὸν Κύριον ὡς νήπιον, οἱ κατὰ τῆς Ποίμνης σου ἐλθόντες ἀλάστορες, τῆς Ἄγαρ οἱ ἀπόγονοι περιπολεύουσαν, ἔνδον ἐν τῇ μονῇ σου Παρθένε· ὢ τῆς πρὸς ἡμᾶς σου, πολλῆς κηδεμονίας!

Ρήμασι τῶν ἐπαγγελιῶν σου, ὧν πάλαι εὐηγγελίσω τοῖς οἰκέταις σου, Κόρη Πορταΐτισσα, τὰς ψυχὰς πτερούμενοι, τὰς μηχανὰς ἐκφεύγομεν τοῦ παναλάστορος, καὶ ἔχοντες εἰς σὲ τὰς ἐλπίδας, τῶν ἐπερχομένων, λυτρούμεθα κινδύνων.

Ἄκλυστος λιμὴν χειμαζομένων, ἐν πόνοις καὶ συμφοραῖς καὶ περιστάσεσιν, ὤφθης Μητροπάρθενε, Κόρη Πορταΐτισσα, νεφέλη δροσοβόλος δὲ ἐπισκιάζουσα, τοὺς ἀπεκδεχομένους τὴν δρόσον, τῆς σῆς προμηθείας, καὶ μητρικῆς εὐνοίας.

Σκέπη τῆς Μονῆς τῆς τῶν Ἰβήρων, Παρθένε καὶ πυλωρὸς πέλεις ἀκοίμητος, Ὄρους

δὲ τοῦ Ἄθωνος, κηδεμὼν καὶ ἔφορος, καὶ μέγα καταφύγιον παντὸς τοῦ κόσμου Ἁγνή· διό σε Πορταΐτισσα Κόρη, ἀνυμνολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασίαι.

Αὕτη ἡ κλητή...

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ...

Ὠδὴ θ΄. Φωτίζου, φωτίζου.

Μεγάλυνον ψυχή μου, τῆς Ἁγνῆς Παρθένου, Πορταϊτίσσης Κόρης, τὰ θεῖα μεγαλεῖα.

Φαιδρύνου ἀγάλλου, Μονὴ Ἰβήρων ἡ σεπτή, ἐν τοῖς κόλποις πλουτοῦσα, Εἰκόνα τὴν ἄχραντον, τῆς τοῦ Θεοῦ, Παναχράντου Μητρός, τῆς συμπαθῶς, πλούτῳ εὐσπλαγχνίας, Πορταϊτίσσης γενομένης σοι.

Μεγάλυνον ψυχή μου, τῆς μόνης Θεοτόκου, Ἁγνῆς Πορταϊτίσσης, τὰ θαύματα τὰ ξένα.

Ὢ θείων φωνῶν σου! ὢ ὑποσχέσεων καλῶν! βοηθὸς γὰρ ἐν βίῳ, ἡμῖν ἔφης ἔσεσθαι, καὶ τῷ Χριστῷ, μετὰ τέλος ἡμᾶς, προσαγαγεῖν· ὅθεν σωτηρίας, Παρθένε πύλην σε γινώσκομεν.

Μεγάλυνον ψυχή μου, τὴν τῆς Πορταϊτίσσης,

περὶ ἡμᾶς πλουσίαν, στοργὴν καὶ προστασίαν.

Ολόφωτε πύλη, ἀνατολῆς τῆς νοητῆς, πυλωρὲ ἀσφαλείας, ἡμῶν καὶ ἀντίληψις, τὰς καθ' ἡμῶν, τῶν ἐχθρῶν προσβολάς, τρέπε ἀεί, κραταιᾷ χειρί σου, ὦ Πορταΐτισσα δεόμεθα.

Μεγάλυνον ψυχή μου, τὴν δόξαν καὶ τὴν χάριν, τὴν τῆς Πορταϊτίσσης, Μητροπαρθένου Κόρης.

Υψόθεν Παρθένε, σκέπε καὶ φύλαττε ἀεί, τοὺς στερρῶς πεποιθότας, ταῖς σαῖς ὑποσχέσεσι, καὶ τὰς φωνάς, τῶν ἐν πάσῃ τῇ γῇ, δέχου Ἁγνή, τῶν πιστῶς φωνούντων, ὦ Πορταΐτισσα τὴν κλῆσίν σου.

Δεύτερος. Ἅπας γηγενής.

Ἄγγελοι ἐθαύμασαν κατιδόντες, διὰ θαλάσσης πλεύσασαν, ἐπὶ τὸν Ἄθω ἀκλύστως, Παρθένε τὴν σὴν Εἰκόνα.

Ικται πρὸς ἡμᾶς, ἁλὸς διαπλεύσασα πελάγη ἄκλυστος, Εἰκών σου ἡ πάντιμος, καὶ εὐφροσύνης πάντας ἐνέπλησεν· ἐν ταύτῃ γὰρ κατείδομεν ἀριδηλότατα, τὴν πολλήν σου, πρὸς ἡμᾶς χρηστότητα, ὑπὲρ ἥλιον Κόρη ἐκλάμπουσαν.

Ἄγγελοι καὶ ἄνθρωποι μετὰ δέους, Παρθένε Πορταΐτισσα, τῇ σῇ Εἰκόνι ἑστῶτες, αἰνοῦσι τὰς χάριτάς σου.

Μνήμην ἱεράν, τῆς ξένης ἀφίξεως τελοῦντες Ἄχραντε, ἡμῖν τῆς Εἰκόνος σου, τῇ τοῦ Σωτῆρος ἐγέρσει σήμερον, λαμπρῶς πανηγυρίζομεν καὶ ἐκβοῶμέν σοι· ἦλθες Κόρη, ἐν μέσῳ τῶν τέκνων σου, οἷα μήτηρ φιλόστοργος Δέσποινα.

Δόξα.

Ἄναρχε Τρισήλιε Θεαρχία, ἐλέησον τοὺς δούλους σου, ταῖς τῆς Ἁγνῆς Θεοτόκου, πανευπροσδέκτοις πρεσβείαις.

Ὄνομα τὸ σόν, Ἁγνὴ Πορταΐτισσα ἐν γλώσσῃ φέροντες, πάσῃ ὥρᾳ Πάναγνε, πάσης πικρίας ἀπολυτρούμεθα, καὶ γλυκασμοῦ πληρούμεθα καὶ παρακλήσεως, οὐρανίου· διὰ τοῦτο πάντοτε, ἐν παντὶ τῇ σῇ χάριτι σπεύδομεν.

Καὶ νῦν.

Ἄχραντε Πανύμνητε Θεοτόκε, Παρθένε Πορταΐτισσα, ἀεὶ βοήθει καὶ σῶζε, πάσης ἀνάγκης τοὺς πρόσφυγάς σου.

Ὕμνησαν φαιδρῶς, τῆς θείας Εἰκόνος σου πάλαι τὴν ἔλευσιν, Μοναστῶν συστήματα, χάριν ἐκ ταύτης πολλὴν καρπούμενοι· ἡμεῖς δὲ λιτανεύοντες αὐτὴν βοῶμέν σοι· ἔσο Κόρη, μεθ' ἡμῶν τῶν δούλων σου, ὡς ὑπέσχου ἀεὶ Πορταΐτισσα.

Καταβασίαι.

Ὁ Ἄγγελος ἐβόα...

Φωτίζου, φωτίζου...

Ἅπας γηγενής...

Ἐξαποστειλάρια. Τοῦ Πάσχα.

Σαρκὶ ὑπνώσας ὡς θνητός...

Τῆς Πορταϊτίσσης, ὅμοιον.

Ὡς Πορταΐτισσα ἡμῶν, καὶ πυλωρὸς σωτήριος, ὑπάνοιξον τὰς εἰσόδους, τῆς βασιλείας οὐρανῶν, ἡμῖν τοῖς μεγαλύνουσι, Παρθένε Θεοτόκε, τὰ θεῖά σου θαύματα.

Καὶ πάλιν τὸ τοῦ Πάσχα.

Σαρκὶ ὑπνώσας ὡς θνητός...

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν Ἀναστάσιμα τοῦ ἤχου γ΄ καὶ τῆς Θεοτόκου τὰ ἑξῆς γ΄.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ὡς ξένη καὶ ὄντως θαυμαστή, Δέσποινα ἡ ἔλευσις, τῆς παναγίας Εἰκόνος σου, ἡμῖν γεγένηται! ἣν ἐπὶ θαλάσσης, πεζεύσας τῷ λόγῳ σου, ὁ θεῖος Γαβριὴλ ἠγκαλίσατο· ἣν ὡς θησαύρισμα, τῆς

σῆς δόξης θησαυρίσαντες, τὴν σὴν χάριν, εὐσήμως κηρύττομεν.

Τοῖς πᾶσι παρέχεις δαψιλῶς, Κόρη Πορταΐτισσα, χάριν καὶ ἔλεος πάντοτε, καὶ κινδυνεύουσι, βοηθεῖς ταχέως, θλίψεων τὸν καύσωνα, σβεννύουσα τῇ δρόσῳ Πανύμνητε, τῆς εὐσπλαγχνίας σου· διὰ τοῦτο μεγαλύνομεν, Θεοτόκε, τὴν μεγαλωσύνην σου.

Εἰς πᾶσαν τὴν γῆν ὡς ἀληθῶς, Κόρη Πορταΐτισσα, τῶν σῶν θαυμάτων διέδραμεν, χάρις ἡ ἔνθεος· πάντας γὰρ προφθάνεις, τοὺς πιστῶς καλοῦντάς σε, καὶ δίδως συμπαθῶς τὰ αἰτήματα, πᾶσι Πανάχραντε· διὰ τοῦτο τὸ σὸν ὄνομα, τρυφὴ πέλει, ἡμῶν καὶ παράκλησις.

Καὶ τὰ τοῦ Πάσχα,
Πάσχα ἱερόν... μετὰ τῶν στίχων αὐτῶν.

Δόξα. Ἦχος πλ. α΄.

Θεοτόκε Ἀειπάρθενε, θαυμαστὰ τὰ σὰ πάντα πέλει, ἀληθῶς καὶ ἀκατάληπτα· ὁ γὰρ τῶν θαυμασίων Θεός, μεγαλεῖα ἐν σοὶ ἐποίησε, σαρκωθῆναι ἐκ σοῦ, εὐδοκήσας ὑπὲρ λόγον· ὅθεν θαυμαστῶς ἡμῶν προνοουμένη, μεγάλα τε καὶ ἔνδοξα, ποικίλοις τρόποις κατεργάζῃ, εἰς περιποίησιν ἡμῶν καὶ σωτηρίαν. Ἀλλ᾽ ὦ Πορταΐτισσα ὑπερένδοξε, δίδου ἡμῖν ἀεί, τὴν σὴν βοήθειαν, καὶ σκέπε ἡμᾶς, ἐκ τῶν βελῶν τοῦ ἀλάστορος.

Καὶ νῦν. Ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει...

Δοξολογία μεγάλη.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Κατὰ τὴν τάξιν τοῦ Πάσχα
᾿Απόστολον καὶ Εὐαγγέλιον τῆς ἡμέρας
καὶ τῆς Θεοτόκου.

Κοινωνικόν. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. ᾿Αλληλούϊα.

## ΜΕΓΑΛΥΝΑΡΙΟΝ

Ὤφθης Πορταΐτισσα ἀληθῶς, σκέπη καὶ προστάτις, τῶν φωνούντων ἀπὸ ψυχῆς, Κόρη Παναγία, τὸ μέγα ὄνομά σου· διὸ τῇ χάριτί σου πάντες προστρέχομεν.

## ΔΙΣΤΙΧΟΝ

Πύλην Πορταΐτισσα τῆς σωτηρίας
Γερασίμῳ ἄνοιξον τῷ σὲ ὑμνοῦντι.

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΚΑΝΩΝ

# ΤΗΣ ΠΑΝΑΓΙΑΣ

# ΤΗΣ

# ΠΟΡΤΑ·Ι·ΤΙΣΣΗΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

# ΠΟΡΤΑΪΤΙΣΣΗΣ

(Ποίημα ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ Μικραγιαννανίτου)

### Εὐλογήσαντος τοῦ ἱερέως λέγομεν τὸ

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου, ἐν τῇ ἀληθείᾳ σου εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμαμου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας, τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Εἶτα τὸ Θεὸς Κύριος...τετράκις, καὶ εὐθὺς τὰ ἑπόμενα Προσόμοια. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῇ θαυμαστῇ σου Πορταΐτισσα σκέπῃ, δι' ἧς λυτροῦσαι ἡμᾶς πάσης ἀνάγκης, προστρέχομεν ἑκάστοτε κραυγάζοντες θερμῶς· ὥσπερ πάλαι ἔδειξας, ἐφ' ἡμῖν τὴν σὴν χάριν, οὕτω καὶ νῦν Δέσποινα, μὴ ἐλλίπῃς εἰς τέλος, ὡς ἐπηγγεῖλω σκέπειν καὶ φρουρεῖν, τοὺς ἀδιστάκτῳ ψυχῇ, προσιόντάς σοι.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Η εὐκλεὴς καὶ παναγία Εἰκών σου, ὥσπερ ἐχέγγυον ἡμῖν σωτηρίας, τῇ σῇ προνοίᾳ Ἄχραντε δεδώρηται, Ἥνπερ θησαυρίσασα ἡ Μονὴ τῶν Ἰβήρων, πάσης ἀπαλλάττεται, διὰ σοῦ ἐπηρείας, καὶ σὺν αὐτῇ ἐλπίδος ἀρραγοῦς, πληροῦται Κόρη, καὶ πᾶς ὁ προστρέχων Σοι.

Εἶτα ὁ Ν΄ Ψαλμός.

Ελέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀ-

γαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ εὐθὺς ψάλλομεν τὸν Κανόνα.

Ἦχος πλ. δ΄.

Ὠδὴ α΄. Ἁρματηλάτην Φαραώ.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Τὰ μεγαλεῖα τῆς σεπτῆς Εἰκόνος σου, ἀνευφημεῖσαι τολμῶν, ἐν ὑλικῇ γλώσσῃ, καὶ ῥυπῶσι χείλεσι· τῆς πυριμόρφου δέομαι καθαρσίου λαβίδος, ἧς Ἡσαΐας ἠξίωται, Μήτηρ τοῦ Θεοῦ ἀπειρόγαμε.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ῥῶσιν καὶ χάριν ἀληθῆ καὶ ἔλεος, ἡ σὴ ἁγία Εἰκὼν δαψιλῶς βλυστάνει, ὡς πηγὴ ἀκένωτος, καὶ θλίψεων τοὺς ἄνθρακας, καταπαύει Παρθένε, δρόσῳ τῆς σῆς ἀγαθότητος, πάντων τὰς καρδίας εὐφραίνουσα.

Δόξα.

Ὀδυνηρῶν ἐπιφορῶν ἀπάλλαξον, καὶ νοσημάτων δεινῶν, καὶ τῶν ἐν τῷ βίῳ, Κόρη περιστάσεων, τοὺς εὐλαβῶς προστρέχοντας, τῇ σεπτῇ σου Εἰκόνι, τῇ δοξασθείσῃ Πανάχραντε, τῇ ἐπισκιάσει τῆς δόξης σου.

Καὶ νῦν.

Ὕπερθεν Κόρη τῶν πυλῶν ηὐδόκησας, τῆς τῶν Ἰβήρων Μονῆς, τὸ θεοειδές σου σωθῆναι Ἐκ-

τύπωμα· ἐντεῦθεν Πορταΐτισσα, φερωνύμως ἐκλήθης, ὡς θυρωρὸς αὐτεπάγγελτος, ταύτης σου τῆς ποίμνης καὶ πρόμαχος.

## Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ρῦσαι πάσης ἀνάγκης, καὶ προσβολῆς Ἄχραντε, ταύτην σου τὴν ποίμνην Παρθένε, ἀνακειμένην σοι, καὶ πᾶσαν ἄδικον βουλὴν διάλυε τάχος, κατ' αὐτῆς δεόμεθα, ὦ Πορταΐτισσα.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ἐν τῇ σῇ προστασίᾳ, καὶ μητρικῇ χάριτι, καὶ συμπαθεστάτῃ προνοίᾳ, καὶ ἀντιλήψει σου, ἀεὶ προστρέχοντες, οἱ τὸν σὸν κλῆρον οἰκοῦντες, Κόρη Πορταΐτισσα, διασωζόμεθα.

## Δόξα.

Ἱλαστήριον θεῖον, ὡς ἀληθῶς ἔδειξας, ἡμῖν Πορταΐτισσα Κόρη, τὸ σὸν Ἐκτύπωμα, ᾧ προσπελάζοντες, ψυχῶν ὁμοῦ καὶ σωμάτων, ἴασιν λαμβάνομεν, τῇ σῇ χρηστότητι.

## Καὶ νῦν.

Παραδόξως ἀφῖκται, ἡ σὴ Εἰκὼν Ἄχραντε, πάλαι ἐκ Νικαίας ἐν Ἄθῳ, τῇ εὐδοκίᾳ σου, καὶ ὑπὲρ ἥλιον, τῆς ἀρωγῆς σου ἀστράπτει, πᾶσι

τὰ δωρήματα, τοῖς σὲ δοξάζουσι.

Διάσωσον, ὦ Πορταΐτισσα Πάναγνε Θεοτόκε, πάσης βλάβης καὶ ἀναγκῶν τε καὶ θλίψεων, τοὺς ὁλοψύχως προστρέχοντας τῇ σῇ σκέπῃ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ ἱερεὺς ποιεῖ αἴτησιν μνημονεύων καὶ τὰ ὀνόματα τῶν πιστῶν, δι' οὓς ἡ παράκλησις τελεῖται.
Τὸ Κύριε ἐλέησον ιε' καὶ μετὰ τὴν ἐκφώνησιν «ὅτι ἐλεήμων...» τὸ παρὸν Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Προστάτις θερμή, καὶ μέγα Καταφύγιον, καὶ σκέπη στεῤῥά, καὶ σύμμαχος καὶ ἔφορος, ὑπάρχεις Πορταΐτισσα, τῶν τὴν σὴν ἐκζητούντων βοήθειαν· διὸ λύτρωσαι πάσης ἀπειλῆς, ὡς ὑπέσχου τοὺς δούλους σου Πανάμωμε.

Ὠδὴ δ'. Σύ μου ἰσχύς.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ὅλῃ ψυχῇ, καὶ διανοίᾳ προστρέχομεν, Θεοτόκε, τῇ σῇ ἀγαθότητι, καὶ ἐκβοῶμέν σοι ἐν κλαυθμῷ, κλῖνόν σου τὰ ὦτα, εἰς τὰς φωνὰς ἡμῶν Ἄχραντε, καὶ πλήρου τὰς αἰτήσεις, Πορταΐτισσα Κόρη, τὰς ἡμῶν ὡς Θεοῦ Μήτηρ εὔσπλαχνος.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ρήσεις τὰς σάς, ἃς ἀπεφήνω Πανάχραντε, περὶ ταύτης, τῆς κληρονομίας σου, πλήρου Παρθένε ὡς συμπαθής, καὶ μὴ ἀποστήσῃς, ἐκ ταύτης τὴν προστασίαν σου· ἡμάρτομεν γὰρ Κόρη, ἀλλὰ σοὶ καθ' ἑκάστην, τὰς ἐλπίδας ἡμῶν ἀναφέρομεν.

Δόξα.

Τὰς ψυχικάς, ἡμῶν ὀδύνας θεράπευσον, καὶ τὰς νόσους, πάσας τὰς τοῦ σώματος, τὰς δυσφορήτους καὶ χαλεπάς, ἴασαι Παρθένε, καὶ θείῳ φόβῳ στοιχείωσον, ἡμῶν τὰς διανοίας, Πορταΐτισσα Κόρη, πρὸς Θεοῦ θελημάτων ἐκπλήρωσιν.

Καὶ νῦν.

Νόμοι ἐν σοί, φύσεως κεκαινοτόμηνται, Θεομήτορ, πάντα ὑπὲρ φύσιν γάρ, τὰ κατὰ σὲ καὶ καινοπρεπῆ· καὶ γὰρ παραδόξως, ἡ θάλασσα τὴν Εἰκόνα σου, Μονῇ τῇ τῶν Ἰβήρων, ἀσινῆ ἐξαισίως, παραδέδωκε φέρουσα Δέσποινα.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω;

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ἵνα τί ἐλαμπρύνθη, ἡ δεδοξασμένη Εἰκὼν τοῦ προσώπου σου, καὶ ἐμεγαλύνθη, ὑπὲρ λόγον Ἁγνὴ Πορταΐτισσα; ξένως γὰρ ὡς ἧκεν, ἡμῖν ποτὲ διὰ θαλάσσης, οὕτω ξένα ἐργάζεται θαύματα.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Τῶν δαιμόνων τὰ θράση, καθ' ἡμῶν κατάβαλε Θεοχαρίτωτε, καὶ τῶν μελετώντων, πονηρὰ καὶ κενὰ Πορταΐτισσα, κατὰ τοῦ σοῦ Ὄρους. ὃ ἠρετίσω ὡς οἰκεῖον, τὰς δεινὰς σκευωρίας ματαίωσον.

Δόξα.

Ἱεράν σε κρηπῖδα, καὶ ἀπεριδόνητον ἱερὰν ἄγκυραν, κεκτημένοι Κόρη, οἱ σοὶ δοῦλοι, πρὸς σὲ καταφεύγομεν· διὸ τὰς σπιλάδας τῶν πειρασμῶν, καὶ καταιγίδας, ὡς ἀφροὺς θαλαττίους διάλυσον.

Καὶ νῦν.

Σωτηρίας πρὸς τρίβον, καὶ πρὸς μετανοίας ὁδὸν τὴν σωτήριον, ἴθυνον Παρθένε, τοὺς θερμῶς προσιόντας τῇ σκέπῃ σου, καὶ μετὰ τὸ τέλος, ὑπὲρ ἡμῶν ὡς ἐπηγγείλω, ἀγαθὰ τῷ Θεῷ ἡμῶν λάλησον.

ᾨδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Σωμάτων σε, ἰατῆρα ἄμισθον, καὶ ψυχῶν θεραπευτὴν κεκτημένοι, ὡς ἀληθῶς Πορταΐτισσα Κόρη, τῇ εὐκλεεῖ σου Εἰκόνι προστρέχομεν, καὶ ἐξ αὐτῆς τὰς δωρεάς, τῆς εὐνοίας σου πίστει λαμβάνομεν.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ἀκύμαντος, τῶν κυμάτων ὕπερθεν, διαπλεύσασα ἡ θεία Εἰκών σου, ἧκεν ἡμῖν ὡς λιμὴν σωτηρίας, καὶ τῶν δεινῶν κατευνάζει τὰ κύματα, γαλήνην δὲ τὴν ἀληθῆ, πρυτανεύει ἡμῖν Πορταΐτισσα.

Δόξα.

Τὴν πύλην μοι, τῆς ζωῆς ὑπάνοιξον, ἀφαρπάζουσα πυλῶν με τοῦ Ἅδου, ἡ Πυλωρὸς τῆς Μονῆς τῶν Ἰβήρων, ὀνομασθῆναι θελήσασα Δέσποινα, ἀποκοπήν μοι τῶν χρεῶν, τῶν πολλῶν μου εὐσπλάγχνως βραβεύουσα.

Καὶ νῦν.

Ἡγίασται, ἀληθῶς ἡ θάλασσα, διαπλεύσει τῆς ἁγίας Μορφῆς σου, ἡ δὲ Μονὴ τῶν Ἰβήρων ὡς πλοῦτον τῆς ἀρωγῆς σου αὐτὴν ὑπεδέξατο, ἅπας ὁ Ἄθως δὲ αὐτήν, ὡς ἐλπίδος πυρσὸν κατεπλούτησε.

Διάσωσον ὢ Πορταΐτισσα Πάναγνε Θεοτόκε, πάσης βλάβης καὶ ἀναγκῶν τε καὶ θλίψεων, τοὺς ὁλοψύχως προστρέχοντας τῇ σῇ σκέπῃ.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις παρὰ τοῦ Ἱερέως, Κύριε ἐλέησον ΙΕ΄
καὶ τὸ παρὸν Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ὡς προστασίαν καὶ σκέπην καὶ ἔφορον, ὁ περιώνυμος κλῆρός σου Ἄχραντε, ὑμνεῖ σε ἀεὶ Πορταΐτισσα, καὶ ἐκ βαθέων ψυχῆς ἀνακράζει σοι· ἀπαύστως με φύλαττε Δέσποινα.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ...**

Ὁ Ἱερεύς. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν. Σοφία, ὀρθοί. Ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

## ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

**Ἐκ τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.**

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤ-

κουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν. Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου· ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ, ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα. Ἦχος β΄.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Τῆς Πορταϊτίσσης ταῖς θείαις ἱκεσίαις, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχ. Ἐλέησόν με ὁ Θεός...**

Ὅλην ἀποθέμενοι...

Ἔχει σε Πανάχραντε, τὸ μέγα Ὄρος τοῦ Ἄθω, μέγα καταφύγιον, οἰκείᾳ χρηστότητι καὶ διάσωσμα· διὰ σοῦ πάσης γάρ, θλίψεως λυτροῦται· Πορταΐτισσαν δὲ ἄγρυπνον, ὥσπερ ηὐδόκησας, Μάνδρα τῶν Ἰβήρων ἡ ἔνδοξος. Ἀλλ' ὦ θεοχαρίτωτε, δίδου ἡμῖν πᾶσι τὴν χάριν σου, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου Κόρη ἀφ' ἡμῶν, ἄχρι τερμάτων αἰῶνος δέ, φύλαττε τοὺς δούλους σου.

Εἶτα ὁ ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.τ.λ. Κύριε ἐλέησον ΙΒ΄, ὁ ἱερεύς: Ἐλέει καὶ οἰκτιρμοῖς... καὶ εὐθύς, αἱ λοιπαὶ ᾠδαί.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Νόσους ποικίλας θεραπεύει, καὶ ἀκάθαρτα πνεύματα διώκει, τῆς Εἰκόνος τῆς σῆς, ἡ χάρις Θεοτόκε· ἐντεῦθεν Πορταΐτισσα, πᾶσα γλῶσσα σὲ δοξάζει.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Δύναμιν δίδου Θεοτόκε, τοῦ πατεῖν ἡμᾶς ἐχθροῦ τὰς πανουργίας, καὶ συμμάχει ἡμῖν, ἀεὶ ὡς καθυπέσχου, κατὰ τοῦ πολεμήτορος καθ' ἡμῶν ὡρυομένου.

Δόξα.

Ελαιον ἄλευρον καὶ οἶνον, ὡς ἐπλήθυνάς ποτε ἐν τῇ Μονῇ σου, οὕτω δίδου Ἁγνή, τοῖς σοῖς ἱκέταις πᾶσι, τῆς μητρικῆς εὐνοίας σου, τὰς πλουσίας εὐλογίας.

Καὶ νῦν.

Σκέπε τὴν σὴν κληρονομίαν, Πορταΐτισσα ἐκ πάσης ἐπηρείας· ὅτι ἅπας πρὸς σέ, ὁ Ἄθως ἀτενίζει, ἐν εὐκαιρίαις Ἄχραντε, καὶ ἐν θλίψεσι τοῦ βίου.

Ὠδὴ η΄. Τὸν ἐν Ὄρει ἁγίῳ δοξασθέντα.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Εν ἑσπέρᾳ, πρωΐ, καὶ μεσημβρίᾳ· ἐν ἡμέρᾳ, νυκτὶ καὶ πάσῃ ὥρᾳ, καὶ ἐν παντὶ καιρῷ καθικετεύω σε, στένων καὶ δακρύων, ἀσπάζομαι φόβῳ, τὴν σὴν σεπτὴν Εἰκόνα.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ιασαί μου τὰ πάθη τῆς καρδίας, φώτισόν μου τὸν νοῦν ἐσκοτισμένον ὄντα, καὶ τὴν ψυχήν μου τεθνηκυῖαν ζώωσον, καὶ υἱὸν ἡμέρας, καὶ φωτός με δεῖξον, Δέσποινα κληρονόμον.

Δόξα.

Σὲ αἰνοῦσιν ἀγγέλων πανηγύρεις, καὶ ὑμνοῦσιν ἀνθρώπων ὁμηγύρεις· καὶ οὐρανὸς καὶ γῆ

καὶ θάλασσα, πάναγνε κυρίως, ἀνυμνολογοῦσι, τὴν σὴν σεπτὴν Εἰκόνα.

Καὶ νῦν.

Χαῖρε πύλη, καὶ γέφυρα καὶ κλίμαξ, ἐκ θανάτου πρὸς τὴν ἀθανασίαν, δι' ἧς χωροῦμεν διαπεραιούμενοι τὴν ὑγρὰν τοῦ βίου θάλασσαν καὶ γῆθεν, ὑψούμεθα πρὸς πόλον.

ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ὡς θάλαμον ὡραῖον καὶ φαεινόν, ὡς εὐώδη νυμφῶνα πανάμωμε, ὡς εὐανθῆ, κῆπον καὶ παράδεισον εὐθαλῆ, ὡς νοητὸν ἁγίασμα, ὡς χρυσοπορφύρωτον κιβωτόν, ὡς ἔμψυχον χωρίον, καὶ πύρινον ὡς θρόνον, τὴν σὴν Εἰκόνα ὀνομάζομεν.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ἰσχὺν καὶ θυμηδίαν ἐν τοῖς δεινοῖς, καὶ παράκλησιν Κόρη ἐν θλίψεσι, δίδου ἡμῖν, τοῖς ὑπὸ τὴν σκέπην σου τὴν σεπτήν, Παρθένε Πορταΐτισσα, πίστει καταφεύγουσιν ἀκλινεῖ, συγχώρησιν πταισμάτων, ἡμῖν ἐξαιτουμένη, καὶ μετοχὴν ζωῆς τῆς κρείττονος.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Μὴ παύσῃ περισκέπουσα ἐν παντί, τὸ περίβλεπτον Ὄρος σου Ἄχραντε, τὸ εὐλαβῶς, Κό-

ρη ἐν ἡμέρᾳ τε καὶ νυκτί, τὸ ἅγιον σου ὄνομα, φέρον ἐν τῷ στόματι καὶ νοΐ, παρέχουσα ἐν τούτῳ, τῆς σῆς ἐπιστασίας, χειρὶ πλουσίᾳ τὰ γνωρίσματα.

**Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ναμάτων ψυχοτρόφων καὶ γλυκερῶν, ὡς πηγὴ σωτηρίου ἀκένωτος, βλύζεις ἀεί, ῥεῖθρα τὰ θεόβρυτα μυστικῶς, καὶ ἅπασαν τὴν Ποίμνην σου, ἄρδεις καὶ εὐφραίνεις προφητικῶς· ἀλλὰ καὶ μετὰ τέλος, ἡμᾶς ἀκατακρίτους, τῷ σῷ Υἱῷ Ἁγνὴ παράστησον.

Δόξα.

Ἡ ἄχραντος Εἰκών σου καὶ εὐκλεής, ὥσπερ ἥλιος Κόρη ὑπέρλαμπρος, αἴγλῃ τῇ σῇ, ἐκ τῆς τῶν Ἰβήρων σεπτῆς Μονῆς, ἀστράπτει ἐν τῷ Ὄρει σου, καὶ εἰς πάντα κόσμον ὑπερφυῶς, καὶ λύει παθημάτων, τὴν νύκτα Θεοτόκε, ταῖς τῶν θαυμάτων ἀναλάμψεσι.

Καὶ νῦν.

Νοός μου τὴν ὁμίχλην τὴν χαλεπήν, τῷ φωτὶ τοῦ προσώπου σου δέομαι, λῦσον Ἁγνή, καὶ τὰ τῆς ψυχῆς μου πάθη δεινά, θεράπευσον καὶ σῶσόν με, ἐκ τῆς δυναστείας τοῦ πονηροῦ, καὶ ὥρᾳ τοῦ θανάτου, ἐξάρπασόν με Κόρη, ἐκ τῶν χειρῶν τοῦ κοσμοκράτορος.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς... καὶ τὰ Μεγαλυνάρια. (Ὁ Ἱερεὺς θυμιᾷ τὸ θυσιαστήριον καὶ τὸν Λαόν).

Πρόσδεξαι τοὺς ὕμνους Μῆτερ Ἁγνή, οὓς ἐν τῷ Ναῷ Σου, Σοὶ προσφέρομεν εὐλαβῶς, καὶ δὸς ἡμῖν χάριν, τοῦ προσκυνεῖν ἀξίως, τὴν πάνσεπτον Εἰκόνα Σου Πορταΐτισσαν.

Ἧκε ξενοτρόπως ἡ σὴ Εἰκών, ἐν τῷ Ὄρει Ἄθῳ, καὶ ἐδόθη ὡς θησαυρός, τῇ Μονῇ Ἰβήρων, Ἁγνὴ θεογεννῆτορ· διὸ ὑμνολογοῦμεν τὰ σὰ θαυμάσια.

Χαῖρε τῶν Ἀγγέλων ἡ χαρμονή, καὶ Μονῆς Ἰβήρων, Πορταΐτισσα ἀρωγή, καὶ παντὸς τοῦ κόσμου ἐξαίρετος Προστάτις, καὶ κηδεμὼν καὶ σκέπη Θεογεννήτρια.

Στήλη θεοτύπωτος ἐμφανής, τῆς περὶ ἡμᾶς σου, προστασίας ἡ σὴ Εἰκών, πέλει Θεοτόκε· διὸ ἅπας ὁ Ἄθως, ὑμνεῖ καὶ μεγαλύνει σε Πορταΐτισσα.

Σκέπε τὴν Μονήν σου πάσης ὀργῆς, καὶ βλάβης Παρθένε, καὶ μανίας τοῦ δυσμενοῦς, καὶ ἐν ὥρᾳ δίκης, ἡμᾶς ἀκατακρίτους, φύλαξον Θεοτόκε τοὺς πεποιθότας σοι.

Τοὺς τοῦ Ὄρους Ἄθω Καθηγητάς, Μοναστὰς Μιγάδας, Ἱεράρχας καὶ Ἀθλητάς, Ὁμολογητάς τε, Ποιμένας καὶ Ὁσίους, τῶν Μοναστῶν τὰ

πλήθη, ὕμνοις τιμήσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ τρισάγιον. Παναγία Τριάς... Πάτερ ἡμῶν...
Ὁ Ἱερεύς: Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία...

Καὶ τὰ τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ρυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·

σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Ἱερεύς:

Ἐλέησον ἡμᾶς ὁ Θεός...
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης...
Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην (ἢ τὸν οἶκον τοῦτον) κλπ.
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος...

Καὶ ποιεῖ ἀπόλυσιν.
Μετὰ τὴν ἀπόλυσιν ψάλλομεν
τὰ παρόντα Τροπάρια.

Ἦχος ϐ΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντας τοὺς προστρέχοντας πιστῶς, τῇ σῇ κραταιᾷ προστασίᾳ καὶ τὴν Εἰκόνα σου, χάριν τε καὶ ἔλεος, ἡμῖν πηγάζουσαν, μετὰ φόβου καὶ πίστεως, Ἁγνὴ προσκυνοῦντας, σῶζε Πορταΐτισσα, πάσης στενώσεως πάσης προσβολῆς ἐναντίας, καὶ ὀδυνηρῶν συμπτωμάτων. καὶ τῶν ἐν τῷ βίῳ περιστάσεων.

Δέσποινα πρόσδεξαι... Τὴν πᾶσαν ἐλπίδα μου...
Καὶ εὐθὺς τὸ Δι' εὐχῶν...

---

Ἀπολυτίκιον τῆς Πορταϊτίσσης.
Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τὴν θείαν Σου Εἰκόνα δεδεγμένοι ἐν θαύματι, Πυλωρὸν Παρθένε καὶ σκέπην καὶ προστάτι-

δα ἔχομεν, τοῦ κλήρου Σου οἱ τρόφιμοι ἀεί, καὶ Σοῦ ὡς ἀφομοίωμα ἡμεῖς, τὴν Αὐτήν σου προσκυνοῦντες ἀπὸ ψυχῆς, βοῶμεν σοι Θεοτόκε· δόξα τῇ παναγάθῳ Σου βουλῇ, δόξα τῇ προστασίᾳ Σου, δόξα τῇ πρὸς ἡμᾶς Ἁγνὴ θείᾳ προνοίᾳ Σου.

Κοντάκιον.

Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.

Τῶν μοναστῶν ἡ πληθὺς δεῦτε τοῦ Ἄθω, ἀνευφημήσωμεν πιστῶς ἐν θείοις ὕμνοις, τὴν Πανάχραντον Παρθένον καὶ Θεοτόκον, Ἰβήρων τῆς σεβασμίας θείας Μονῆς, τὴν Μόνην κηδεμονίαν καὶ θυρωρόν, καὶ τοῦ Ὄρους τὴν Ἔφορον, ἀναβοῶντες ἐκτενῶς, χριστιανῶν τὸ στήριγμα, Χαῖρε Κόρη Μητρόθεε.

Ἀπολυτίκιον τῶν Κτιτόρων
τῆς Ἱερᾶς Μονῆς Ἰβήρων.
Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Ἰωάννην Εὐθύμιον καὶ Γεώργιον, Μονῆς Ἰβήρων Ποιμένας τε καὶ δομήτορας, ὡς Πατέρας φιλοστόργους ἀνυμνήσωμεν. Καὶ γὰρ πρεσβεύουσι Χριστῷ ὑπὲρ ἡμῶν διηνεκῶς, τοῦ δοῦναι ἡμῖν Εἰρήνην, πλημμελημμάτων συγγνώμην, καὶ σὺν αὐτοῖς Μονὴν Οὐράνιον.

Κοντάκιον εἰς τὸν μυροβόλον
Τίμιον Σταυρὸν Μονῆς Ἰβήρων.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Σταυρὲ Κυρίου μετὰ φόβου Σοὶ προσπίπτομεν, καὶ μετὰ πόθου καὶ χαρᾶς σὲ ἀσπαζόμεθα, ἀρυόμενοι τὰ μῦρά σου τὰ εὐώδη. Πρὸς Χριστὸν δέ σε πρεσβείαν προβαλλόμενοι, καὶ πταισμάτων τὴν συγχώρησιν λαμβάνοντες, Σοὶ κραυγάζομεν, χαῖρε ξύλον Πανάγιον.

Ἀπολυτίκιον
Εἰς τοὺς αὐταδέλφους Ἁγίους
Βασίλειον, Γρηγόριον καὶ Μακρίναν
ὧν τὰ Ἱερὰ λείψανα ἡνωμένα εὑρίσκονται
ἐν τῇ Μονῇ Ἰβήρων.

Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Τῶν τριῶν αὐταδέλφων τὰ θεῖα λείψανα, τοῦ Βασιλείου Μακρίνης καὶ Γρηγορίου ὁμοῦ, τῶν Ἰβήρων ἡ Μονὴ ὡς πλοῦτον κέκτηται. Ἅπερ ἐν ζήλῳ καὶ σπουδῇ πανταχόθεν οἱ πιστοί, ἀσπάζονται μετὰ πόθου, καὶ τῇ θερμῇ αὐτῶν πρεσβείᾳ ἀντλοῦσι χάριν καὶ θεῖον ἔλεος.